τῆς Ἀναλήψεως τοῦ δεσπότου Χριστοῦ καὶ σωτῆρος ἡμῶν, ἀθροισμὸς γίνεται ἐκ προσκλήσεως περὶ τὴν βασίλειον ἁπάντων αὐλὴν, καὶ συνδρομὴ παντὸς ἔθνους καὶ γένους, ἔνθα ηὐλίζετο ὁ Ἀνδρόνικος κατὰ τὸ Ἔξω λεγόμενον Φιλοπάτιον, κἀκεῖθεν μεταρρυέντες πάντες εἰς τὰ τοῦ Μαγγάνη λεγόμενα παλάτια, ἃ δὴ κατὰ τὸ Ἐντὸς Φιλοπάτιον ᾠκοδόμηντο, ὁ δὲ Ἀνδρόνικος κατηδάφισε· τότε ἐξάγεται παρὰ δόξαν τῶν συνειλεγμένων ὁ Μαυροδούκας τε καὶ ὁ Δούκας· καὶ οἱ μὲν, ὡς ὑπὸ δίκην ἀχθησόμενοι, ἢ τὸν Ἀνδρόνικον ὀψόμενοι τῶν ὑπερῴων προκύψαντα διεσκευάζοντο πρὸς τὸ εὔσημον, ἄνω τε ὄμματα αἴροντες, ὁ δὲ Ἁγιοχριστοφορίτης Στέφανος, (ὃν καὶ Ἀντιχριστοφορίτην οἱ τότε ὠνόμαζον, ἦν γὰρ τῷ ὄντι ὁ ἀναιδέστατος τῶν Ἀνδρονίκου ὑπηρετῶν, καὶ πάσης ἀνοσιουργίας ἀνάμεστος), ἄρας λίθον χειροπληθῆ, βάλλει τὸν Μακροδούκαν, καὶ παρῄνει πᾶσι ὡς εἰς παράδειγμα αὐτὸν ἀφορᾷν καὶ τὰ ὅμοια δρᾷν, καὶ τὸν μὴ βάλλοντα λίθοις, ἐρεσχελῶν, καὶ ὡς ἄπιστον τὴν αὐτὴν καταδίκην ὑποστῆναι μέλλοντα. Ἦραν οὖν διὰ τὴν ἀπειλὴν πάντες λίθους, καὶ τῶν ἀνθρώπων κατέβαλον, ὡς ἀρθῆναι τοὺς λίθους ἐς ὕψος βουνοῦ· ἔτι δ' ἐμπνέοντας τοὺς ἄνδρας ἄραντές τινες οἷς τὰ τῆς ὑπηρεσίας ταύτης ἐπετέτραπτο, καὶ κιλικίοις ἐνειλήσαντες, τὸν μὲν εἰς τὴν Περαίαν ἢ τοῖς Ἰουδαίοις εἰς ταφὴν ἀποκεκλήρωται ἄγουσι, τὸν δὲ Μακροδούκαν κατὰ τὴν ἀντίπορθμον τῇ μονῇ τῶν Μαγγάνων ἀποκομίζουσι λοφώδη ἀκτὴν, καὶ ἀμφότεροι ἀνασκολοπίζονται. Καὶ τότε πρῶτον οἱ Κωνσταντινουπολῖται τεθέανται τὰ καὶ ἀκοαῖς αὐταῖς δυσπαράδεκτα. Ἀλλὰ γὰρ μηδὲ τοῦτο παραδραμέτω ὁ λόγος. Αἰτοῦνταί τινες τὸν Ἀνδρόνικον, οἷς μετῆν παρρησίας, τὰ τῶν κρεμασθέντων καθαιρεθῆναι σώματα· ὁ δὲ ἠρώτησεν, εἰ πάλαι ἀπέθανον, καὶ γνοὺς κακῶς καταστρέψαι τὸν βίον, συμπαθείας, εἶπε, τοὺς ἄνδρας καταξιοῦν· καὶ ἐπεδάκρυσε τῷ ῥήματι τούτῳ, φάμενος, ἰσχυροτέραν εἶναι τὴν τῶν νόμων αὐ-